Σχόλια. Σκίροις.] Σκίρα ἑορτή ἐστι τῆς Σκιράδος Ἀθηνᾶς, Σκιροφοριῶνος ιβ. οἱ δὲ, Δήμητρος καὶ Κόρης. ἐν ᾗ ὁ ἱερεὺς τοῦ Ἐρεχθέως φέρει σκιάδειον λευκὸν, ὃ λέγεται σκῖρον. ἄλλως. Σκίρα ἑορτὴ παρ' Ἀθηναίοις ἀφ' ἧς καὶ ὁ μὴν Σκιρροφοριών. φασὶ δὲ οἱ γράψαντες περὶ τε μηνῶν καὶ ἑορτῶν τῶν Ἀθήνησιν ὡς τὸ σκῖρον σκιάδιον ἐστι. μεθ' οὗ φερόμενοι ἐξ ἀκροπόλεως εἴς τινα τόπον καλούμενον Σκίρον, πορεύονται ἥτε τῆς Ἀθηνᾶς ἱέρεια καὶ ὁ τοῦ

A Ἡλίου. κομίζουσι δὲ τοῦτο Ἐτεοβουτάδαι. σύμβουλον δὲ τοῦτο γίνεται τοῦ δεῖν οἰκοδομεῖν. καὶ σκέπας δὲ ποιεῖν ὡς τοῦ χρόνου ἀρίστου ὄντος πρὸς οἰκοδομίαν. καὶ Ἀθηνᾶν δὲ Σκιρράδα τιμῶσιν Ἀθηναῖοι, ἣν Φιλόχορος μὲν ἐν δευτέρῳ Ἀτθίδος ἀπὸ Σκίρου τινὸς Ἐλευσινίου μάντεως κεκλῆσθαι, Πραξίων δὲ ἐν δευτέρῳ μεγαρικῶν ἀπὸ Σκίρωνος τοῦ συνοικίσαντος Σαλαμῖνα. Σκιράδα δὲ Ἀθηνᾶν Θησεὺς ἐποίησεν ὅτε ἐπανῄει ἀποκτείνας τὸν Μινώταυρον.

Ἃς Σφυρόμαχός ποτ' εἶπεν, εἰ μέμνησθ' ἔτι,
Δεῖ τὰς ἑταίρας κἀγαθιζομένας λαθεῖν.
Τί δῆτ' ἂν εἴη. πότερον οὐκ ἐρραμμένους
Ἔχουσι τοὺς πώγωνας οὓς εἴρητ' ἔχειν.
Ἢ θοἰμάτια τἀνδρεῖα κλεψάσαις λαθεῖν
Ἦν χαλεπὸν αὐταῖς. ἀλλ' ὁρῶ τονδὶ λύχνον
Προσιόντα. φέρε νυν ἐπαναχωρήσω πάλιν,
Μὴ καί τις ὢν ἀνὴρ ὁ προσιὼν τυγχάνῃ.

B *Quas Sphyromachus quondam dixit, si meministis adhuc*
*Oportet meretrices & bonas latere.*
*Quid igitur erit? vtrum non sutas*
*Habent barbas, quas dictum est habere?*
*Vel vestes viriles furantibus, latere*
*Fuit difficile ipsis. Sed video hanc lucernam*
*Aduenientem, age nunc recedam iterum*
*Ne & aliquis existens vir adueniens contingat.*

Σχόλια. Ἃς Σφυρόμαχος γράφεται] ἃς Λεόμαχος. καὶ φασὶ Κλεόμαχον τραγικὸν ὑποκριτήν. ἔστι δὲ φαίνεται ὑποκρινόμενος ποτε εἰρηκέναι τι ἐν δράματι καὶ ἐσκῶφθαι διὰ τὸ κακέμφατον. ὁ δὲ Σφυρόμαχος, ψήφισμα εἰσηγήσατο, ὥστε δεῖν τὰς γυναῖκας τὰς ἑταίρας χωρὶς τῶν ἐλευθέρων καθέζεσθαι. οἱ δὲ ὅτι τὰς γυναῖκας καὶ τοὺς ἄνδρας χωρὶς καθέζεσθαι.

Bis. Κἀγαθιζομένας.] καὶ ἀγαθιζομένας, ἤγουν

C ἀγαθὰ λεγούσας λαθεῖν. ὁ δὲ νοῦς ἐστίν· ἔδει ἡμᾶς ἤδη προκαταλαβεῖν τὰς τῆς ἐκκλησίας ἕδρας. ἃς ὁ Κλεόμαχος εἶπέ ποτε τὰς γυναῖκας χωρὶς τῶν ἀνδρῶν λαμβάνειν. δεῖ γὰρ τὰς ἑταίρας καίπερ ἀγαθὰ λεγούσας, καὶ περὶ ἀγαθῶν πραγμάτων διαλεγομένας, λαθεῖν, καὶ μὴ φανερῶς παρόντων ἀνδρῶν, καὶ ἄλλων μὴ φίλων γυναικῶν τὰ ἑαυτῶν βουλεύματα δηλῶσαι.

D

## ΓΥΝΗ ΤΙΣ. ΠΡΑΞΑΓΟΡΑ. ΕΤΕΡΑ ΓΥΝΗ. ΑΛΛΗ ΓΥΝΗ.

Γυ. Ὥρα βαδίζειν, ὡς ὁ κῆρυξ ἀρτίως
Ἡμῶν προσιόντων, δεύτερον κεκόκκυκεν.
Πρ. Ἐγὼ δέ γ' ὑμᾶς προσδοκῶσ' ἐγρηγόρειν
Τὴν νύκτα πᾶσαν. ἀλλὰ φέρε τὴν γείτονα
Τήνδ' ἐκκαλέσωμαι θρυγανῶσα τὴν θύραν.
Δεῖ γὰρ τὸν ἄνδρ' αὐτῆς λαθεῖν. Ετ. Γ. ἤκουσά τοι
Ὑποδουμένη τὸ κνῦσμα σου τῶν δακτύλων.
Ἅτ' οὐ καταδαρθοῦσ'. ὁ γὰρ ἀνὴρ ὦ φιλτάτη
Σαλαμίνιος γάρ ἐστιν ᾧ ξύνειμ' ἐγώ,
Τὴν νύχθ' ὅλην ἤλαυνέ μ' ἐν τοῖς στρώμασιν.
Ὥστ' ἄρτι τουτὶ θοἰμάτιον αὐτοῦ λαβεῖν.
Καὶ μὴν ὁρῶ καὶ Κλειναρέτην καὶ Σωστράτην
Προσιοῦσαν ἤδη τήνδε καὶ Φιλαινέτην.
Πρ. Οὔκουν ἐπείξεσθ' ὡς Γλύκη κατώμοσε
Τὴν ὑστάτην ἥκουσαν οἴνου τρεῖς χοᾶς
Ἡμῖν ἀποτίσειν κἀρεβίνθων χοίνικα.
Τὴν Σμικυθίωνος οὐχ ὁρᾷς Μελιστίχην
Σπεύδουσαν ἐν ταῖς ἐμβάσιν. καί μοι δοκεῖ
Κατὰ σχολὴν παρὰ τἀνδρὸς ἐξελθεῖν μόνη.
Γυ. Τὴν τοῦ καπήλου δ' οὐχ ὁρᾷς Γευσιστράτην

## MVLIER QVÆDAM, PRAXAgora. Alia mulier. Alia mulier.

AL. M. *Hora eundi quoniam præco nuper*
*Nobis procedentibus, secundo clamauit.*
*PR. Ego autem vos expectans vigilo*
*Noctem omnem. sed age vicinam*
E *Hanc vocabo, leniter pulsans ianuam,*
*Oportet enim virum ipsius latere. MV. Audiui*
*Calceans fricationem tui digitorum,*
*Tanquam non dormiens. hic enim vir, ô dilectissima,*
*salaminius enim est, quo cum versor ego,*
*Noctem totam commouit me in lectis,*
*Ad nunc hanc vestem ipsius capere.*
*Et quidem video & Clinaretem & Sostratem*
F *Aduenientem, hanc & Philanethem.*
*PR. Igitur festinate, quòd Clice iurauit*
*Vltimam venientem, vini tres mensuras*
*Nostrûm soluere, & cicerum mensuram.*
*Hanc smicythionis non vides Melisticham*
*Festinantem in soleis? & mihi videtur*
*Per otium à viro exire sola.*
AL. M. *Hanc Capeli autem nõ vides Geusistratẽ*

G

Σχόλια. Ὥρα βαδίζειν.] μία τῶν ἐρχομένων πρὸς τὴν Πραξαγόραν ταῦτα λέγει. Θρυγανῶσα.] ἡσύχως κνῶσα. Ὑποδουμένη] ὑποδήματα βάλλουσα. τὸ κνῦσμα δὲ τὸν ἠρεμαῖον χνασμόν. Σαλαμίνιος] ὡς ναυτικῶν ὄντων τῶν Σαλαμινίων ἢ καταφερῶν. δύναται δὲ καὶ ἀπὸ τῆς Σαλαμινίας νεὼς νοεῖσθαι τὸ Σαλαμίνιος. ὡς ἀπὸ τῆς Παράλου παράλιος. Κἀρεβίνθων] ὑποπίνοντες ἔκοπτον φρυκτοὺς ἐρεβίνθους. Τὴν Σμικυθίωνος] λείπει γυναῖκα. Ἐμβάσιν] ἐμβὰς ἀνδρεῖον ὑπόδημα. Γευσιστράτην.] παρὰ τὴν Λυσιστράτην εἴρηκεν.